τὸ τοῦ σκοποῦ ἁμαρτάνειν. Ἰλιάδος π.
—ἔγχεσι μὲν γὰρ

A Ἤμβροτον ἀλλήλων, μέλεον δ᾽ ἠκόντιζον ἄμφω.
οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ οἰκτροῦ. Σ.

Ὅτε καὶ δίκας ὦφληκα. χἄτεροι τόκου
Ἐνεχυράσεσθαί φασιν. Φει. ἐτεὸν ὦ πάτερ
Τί δυσκολαίνεις, καὶ στρέφῃ τὴν νύχθ᾽ ὅλην;
Στ. Δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.
Φει. Ἔασόν ὦ δαιμόνιε καταδαρθεῖν τί με.
Στ. Σὺ δ᾽ οὖν κάθευδε. τὰ δὲ χρέα ταῦτ᾽ ἴσθ᾽ ὅτι
Εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.
Φευ. εἴθ᾽ ὤφελ᾽ ἡ προμνήστρι᾽ ἀπολέσθαι κακῶς.
Ἥτις με γῆμ᾽ ἐπῆρε τὴν σὴν μητέρα.
Ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος.
Εὐρωτιῶν. ἀκόρητος. εἰκῇ κείμενος.
Βρύων μελίτταις, καὶ προβάτοις καὶ στεμφύλοις.
Ἔπειτ᾽ ἔγημα Μεγακλέους. τοῦ Μεγακλέους

*Bonis: quando etiam multas pendere debui:*
*Et alij pro vsura minitantur pignora*
*Sese capturos.* PH. *Quid tu adeò morosus es*
*Pater, & tota nocte teipsum torques miser?*
ST. *Mordet me prætor quidam, & è lecto fugat.*
B PH. *Sinas me, miser homo, dormire aliquantulum.*
ST. *Age dormias: at scito, quòd isthæc debita*
*Omnia redundabunt dein in caput tuum.*
*Vtinam malè pereat isthæc Pronuba pessima,*
*Quæ me impulit, vt matrem olim duxerim tuam.*
*Nam ruri agebam vitam priùs suauissimam,*
C *Squalentem, incomtam, humi proiectam temerè, apum*
*Refertam copia, & fracibus, & pecudibus.*
*Pòst vxorem duxi hanc Megaclis, ex anu*

Ὅτε καὶ δίκας ὦφληκα.] ἤγουν καὶ δίκας προσώφληκα. ἢ ὡς καὶ δίκας προσώφληκα. ἐπιτάσει δὲ χρῆται ταύτῃ, ὅτι πρὸς τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν, καὶ εἰς δίκας ἐπεπτώκειν. ἐπιτείνει γοῦν τὸ κακόν, ὅτι πρὸς τῷ ζημιοῦσθαί με, ἔτι καὶ δίκας ὀφείλω. καὶ γὰρ οὐ τοῦ δανείου D χάριν ἀλλὰ τοῦ τόκου ἐνεχυράζεσθαι ἀπειλοῦσιν. Χἄτεροι τόκου.] ἀντὶ τοῦ καὶ ἄλλοι, Ἀττικῶς εἶπε. λείπει ἡ ὑπέρ. καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ᾽ ἐμοῦ λήψεσθαί φασιν. μᾶλλον δὲ τὴν ὄχλησιν δείκνυσι τὴν κατ᾽ αὐτοῦ. οὕς φησι τόκου χάριν ἐνεχυράσειν αὐτὸν ἀπειλεῖν. Ἐτεὸν ὦ πάτερ] ταῦτα οὐκέτι ὀνειροπολούμενος, ἀλλ᾽ ἐγερθεὶς λέγει, ἑωρακὼς τὸν πατέρα ὀδυρόμενον. Τί δυσκολαίνεις καὶ στρέφῃ.] τί περιστρέφῃ συνεχῶς. συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τοῦτο πάσχειν, τῇδε κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ μεταβάλλειν. Δάκνει με δήμαρχός τις.] παίζων τὸν E κόριν ἢ τὴν ψύλλαν καλεῖ. οἱ δὲ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ᾽ αὐτοῖς ἦν. συνῆγόν τε τοὺς δήμους ὅτε δέοι. καὶ ψῆφον αὐτοῖς ἐπεδίδοσαν καὶ ἐνεχυρίαζον. Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησί. κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν. τοῖς πρότερον ναυκλάροις. καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκλαρειῶν ἐποίησεν. οἱ πρότερον, ναύκλαροι εἴτε ὑπὸ Σόλωνος κατασταθέντες εἴτε καὶ πρῶτον. οὗτοι δὲ τὴν πομπὴν τῶν Παναθηναίων ἐκόσμουν, Κλεισθένους κατα- F στήσαντος ἀντὶ ναυκλάρων. ἔστι δὲ δήμαρχος ὁ τὴν ἐπώνυμον ἀρχὴν ἄρχων. καὶ Ἀσκληπιάδης ὁ Ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντάς φησι. Δημήτριος δὲ ὁ Φαληρεὺς οὕτω φησί. καὶ δημάρχους οἱ περὶ Σόλωνα καθίσαντο ἐν πολλῇ σπουδῇ, ἵνα οἱ κατὰ δῆμον ἄρχοντες διδῶσι καὶ λαμβάνωσι τὰ δίκαια παρ᾽ ἀλλήλων. ἔδει οὖν τὸν δήμαρχον ἀγαγεῖν εἰς τοὺς οἴκους τοὺς ἐνεχυριαζομένους. παίζει δέ, ὡς εἰ ἔλεγε κόρεις ἢ ψύλλα. ὄνομα δὲ πολιτείας οἱ δήμαρχοι. οἷς ἐξῆν ἐνεχυριάζειν G τοὺς ἀγνώμονας τῶν χρεωστῶν. τοῦτο δὲ, οὐκέτι καθεύδων, ἀλλ᾽ ἐγερθεὶς ἄλλως. Καταδαρθεῖν, οἱ Ἀττικοὶ παροξύνουσι καταδάρθειν. κυρίως δὲ τὸ ἐπὶ δέρματος κοιμᾶσθαι. ταῦτα δὲ εἰπὼν ὁ νεανίσκος, συγκαλυψάμενος καὶ στραφείς, πάλιν κοιμᾶται.

Bisetvs. Φεῦ] τὸ φεῦ θαυμαστικόν ἐστι, καὶ χωρὶς τῶν ἑπομένων νοητέον. εἶτα τὸ, εἴθ᾽ ὤφελε, δεῖ ἐπιφέρειν. τὸ δὲ εἴθε, καὶ ὤφελε, συνωνύμως τίθεται.

Σχόλια. Εἴθ᾽ ὤφελ᾽ ἡ.] τὸ ὤφελέ τινες ἐπιρρηματικῶς δέχονται ὡς τὸ ὤφελε μὴτ᾽ ἐγένοντο θοαὶ νέες. καὶ τὸ Εὐριπίδου ἐν Μηδείᾳ κατ᾽ ἀρχὰς τοῦ δράματος. ἵν᾽ ᾖ παράλληλον τὸ σχῆμα τοῦ πρεσβύτου συνεχέστερον ἀπευχομένου τῇ προμνηστρίᾳ. ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ εἶδε. ὡς ὄφελον Τρώεσσι κοτεσσάμενος. καὶ μὴ ὄφελες λίσσεσθαι ἀμύμονος Αἰακίδαο. τὸ δὲ φεῦ, ἰδίως. Ἡ προμνήστρι᾽ ἀπολέσθαι.] ἡ προνοήσασα τῶν γάμων. προμνήστρια καλεῖται ἡ νῦν προξενήτρια. Γῆμ᾽ ἐπῆρε.] κυρίως τὸ ἀνεχαύνωσεν. ἀνεκούφισεν. ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα. καταχρηστικῶς δὲ ἀνέπεισεν.

Bisetvs. Γῆμαι] γῆμαι ὡς Εὐστάθιός φησι λέγεται ὁ ἀνήρ. γήμασθαι δὲ ἡ γυνή. Εὐριπίδης δὲ καὶ τὸ γήμασθαι περὶ ἀνδρὸς λέγει. γαμῆσαι δὲ, τὸ γυναῖκα λαβεῖν. γαμέσαι δὲ, τὸ γυναῖκα δοῦναι. Ἄγροικος.] ἄγροικος προπαροξυτόνως, ὁ κατ᾽ ἀγρὸν διαιτώμενος. ἀγροῖκος δὲ προπερισπωμένως, ὁ ἀπαίδευτος.

Σχόλια. Εὐρωτιῶν.] ἀντὶ τοῦ ἱδρῶν. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ, εἰκῇ κείμενος. εὐρωτιῶσι γὰρ F τὰ εἰκῇ κείμενα, ὥσπερ νοτίδος αὐτοῖς ἐγγινομένης καὶ σηπούσης. καὶ εὐρὼς ὁ σκώληξ, ἐπεὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει. τουτέστι, νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος. ὁ γὰρ αὐτῶν οἶκος πυρῶν καὶ σπερμάτων μεστὸς ὤν, οὐδὲ μίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθεσίαν. ἀλλ᾽ ἄλλο ἀλλαχῇ κεῖται ὡς ἔτυχε. τὸ δὲ ἀκόρητος, ἀκαλλώπιστος. κορεῖν γὰρ καλλωπίζειν. ὅθεν καὶ νεωκόρος. Καὶ προβάτοις καὶ στεμφύλοις.] στέμφυλα κυρίως λέγεται, τὰ ἀποπιέσματα τῶν ἐλαῶν. περιπίσματα δὲ τὰ ἐκ τῶν σταφυλῶν ἀποπιεζόμενα. εὑρίσκεται δὲ καὶ G ἀνάπαλιν τὰ στέμφυλα ἐπὶ τῶν σταφυλῶν. καὶ τὰ περιπίσματα ἐπὶ τῶν ἐλαῶν. Τοῦ Μεγακλέους.] ἐδιπλασίασε τὸ ὄνομα εἰρωνευόμενος. τῶν Ἀλκμαιωνιδῶν δὲ οὗτοί εἰσι γένους. αὐτὸς δὲ διεβάλλετο ὡς δοῦλος ὁ πρῶτος οὖν Μεγακλῆς, Κοισύρας ἦν υἱός, ἥτις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ. ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυροῦσθαι τὸ μέγα φρονεῖν, παρ᾽ Ἐρετρεῦσιν.